# 2. Chronika 17

Septuaginta (LXX)

**1** καὶ ἐβασίλευσεν ιωσαφατ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ καὶ κατίσχυσεν ιωσαφατ ἐπὶ τὸν ισραηλ

**2** καὶ ἔδωκεν δύναμιν ἐν πάσαις ταῖς πόλεσιν ιουδα ταῖς ὀχυραῖς καὶ κατέστησεν ἡγουμένους ἐν πάσαις ταῖς πόλεσιν ιουδα καὶ ἐν πόλεσιν εφραιμ ἃς προκατελάβετο ασα ὁ πατὴρ αὐτοῦ

**3** καὶ ἐγένετο κύριος μετὰ ιωσαφατ ὅτι ἐπορεύθη ἐν ὁδοῖς τοῦ πατρὸς αὐτοῦ ταῖς πρώταις καὶ οὐκ ἐξεζήτησεν τὰ εἴδωλα

**4** ἀλλὰ κύριον τὸν θεὸν τοῦ πατρὸς αὐτοῦ ἐξεζήτησεν καὶ ἐν ταῖς ἐντολαῖς τοῦ πατρὸς αὐτοῦ ἐπορεύθη καὶ οὐχ ὡς τοῦ ισραηλ τὰ ἔργα

**5** καὶ κατηύθυνεν κύριος τὴν βασιλείαν ἐν χειρὶ αὐτοῦ καὶ ἔδωκεν πᾶς ιουδα δῶρα τῷ ιωσαφατ καὶ ἐγένετο αὐτῷ πλοῦτος καὶ δόξα πολλή

**6** καὶ ὑψώθη καρδία αὐτοῦ ἐν ὁδῷ κυρίου καὶ ἔτι ἐξῆρεν τὰ ὑψηλὰ καὶ τὰ ἄλση ἀπὸ τῆς γῆς ιουδα

**7** καὶ ἐν τῷ τρίτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἀπέστειλεν τοὺς ἡγουμένους αὐτοῦ καὶ τοὺς υἱοὺς τῶν δυνατῶν τὸν αβδιαν καὶ ζαχαριαν καὶ ναθαναηλ καὶ μιχαιαν διδάσκειν ἐν πόλεσιν ιουδα

**8** καὶ μετ' αὐτῶν οἱ λευῖται σαμουιας καὶ ναθανιας καὶ ζαβδιας καὶ ασιηλ καὶ σεμιραμωθ καὶ ιωναθαν καὶ αδωνιας καὶ τωβιας οἱ λευῖται καὶ μετ' αὐτῶν ελισαμα καὶ ιωραμ οἱ ἱερεῖς

**9** καὶ ἐδίδασκον ἐν ιουδα καὶ μετ' αὐτῶν βύβλος νόμου κυρίου καὶ διῆλθον ἐν ταῖς πόλεσιν ιουδα καὶ ἐδίδασκον τὸν λαόν

**10** καὶ ἐγένετο ἔκστασις κυρίου ἐπὶ πάσαις ταῖς βασιλείαις τῆς γῆς ταῖς κύκλῳ ιουδα καὶ οὐκ ἐπολέμουν πρὸς ιωσαφατ

**11** καὶ ἀπὸ τῶν ἀλλοφύλων ἔφερον τῷ ιωσαφατ δῶρα καὶ ἀργύριον καὶ δόματα καὶ οἱ ἄραβες ἔφερον αὐτῷ κριοὺς προβάτων ἑπτακισχιλίους ἑπτακοσίους

**12** καὶ ἦν ιωσαφατ πορευόμενος μείζων ἕως εἰς ὕψος καὶ ᾠκοδόμησεν οἰκήσεις ἐν τῇ ιουδαίᾳ καὶ πόλεις ὀχυράς

**13** καὶ ἔργα πολλὰ ἐγένετο αὐτῷ ἐν τῇ ιουδαίᾳ καὶ ἄνδρες πολεμισταὶ δυνατοὶ ἰσχύοντες ἐν ιερουσαλημ

**14** καὶ οὗτος ἀριθμὸς αὐτῶν κατ' οἴκους πατριῶν αὐτῶν τῷ ιουδα χιλίαρχοι εδνας ὁ ἄρχων καὶ μετ' αὐτοῦ υἱοὶ δυνατοὶ δυνάμεως τριακόσιαι χιλιάδες

**15** καὶ μετ' αὐτὸν ιωαναν ὁ ἡγούμενος καὶ μετ' αὐτοῦ διακόσιαι ὀγδοήκοντα χιλιάδες

**16** καὶ μετ' αὐτὸν αμασιας ὁ τοῦ ζαχρι ὁ προθυμούμενος τῷ κυρίῳ καὶ μετ' αὐτοῦ διακόσιαι χιλιάδες δυνατοὶ δυνάμεως

**17** καὶ ἐκ τοῦ βενιαμιν δυνατὸς δυνάμεως ελιαδα καὶ μετ' αὐτοῦ τοξόται καὶ πελτασταὶ διακόσιαι χιλιάδες

**18** καὶ μετ' αὐτὸν ιωζαβαδ καὶ μετ' αὐτοῦ ἑκατὸν ὀγδοήκοντα χιλιάδες δυνατοὶ πολέμου


Druckausgabe erzeugt am 03.08.2025 auf bibelkommentare.de

**19** οὗτοι οἱ λειτουργοῦντες τῷ βασιλεῖ ἐκτὸς ὧν ἔδωκεν ὁ βασιλεὺς ἐν ταῖς πόλεσιν ταῖς ὀχυραῖς ἐν πάσῃ τῇ ιουδαίᾳ



Druckausgabe erzeugt am 03.08.2025 auf bibelkommentare.de